# ΕΘΝΙΚΟΝ ΚΑΙ ΚΑΠΟΔΙΣΤΡΙΑΚΟΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΑΘΗΝΩΝ

## ΨΗΦΙΣΜΑ
## ΤΟΥ ΤΜΗΜΑΤΟΣ ΘΕΑΤΡΙΚΩΝ ΣΠΟΥΔΩΝ
## ΤΗΣ ΤΩΝ ΦΙΛΟΣΟΦΩΝ ΣΧΟΛΗΣ

ΤΥΧῌ ΑΓΑΘῌ

Πρυτανεύοντος ἐν τῷ Ἀθήνησιν Ἐθνικῷ καὶ Καποδιστριακῷ Πανεπιστημίῳ Μελετίου-Ἀθανασίου Κ. Δημοπούλου, κοσμητευούσης ἐν τῇ τῶν Φιλοσόφων Σχολῇ Ἑλένης Μιχ. Καραμαλέγκου καὶ προεδρευούσης ἐν τῷ Τμήματι Θεατρικῶν Σπουδῶν Ἄννας Γ. Ταμπάκη, ἔδοξεν ὁμοθύμως τῇ Σχολῇ

## EDITH HALL

νήσου τῆς Βρετανικῆς ἐξανιοῦσαν, εὖ πεφυκυῖαν καὶ τὴν ψυχὴν εὔπορον, παιδείᾳ τε ἀρετῇ τε μέγ᾽ ἀρίστην, τὰς περὶ τὴν Ἑλληνικὴν Γλῶσσαν καὶ Φιλολογίαν διατριβὰς θαυμαστῶς πεποιημένην, τὴν δὲ ἐπιστήμην ἐκπρεπῶς καὶ ἔξοχ᾽ ἑταίρων προαγαγοῦσαν, πόλλ᾽ ἐναίσιμα συγγράψασαν, περὶ δὲ τοῦ ἐπὶ σκηνῆς δράματος πλεῖστα διδάξασαν, ἄλλαις τε καινοτόμοις συγγραφαῖς ἐν τοῖς ὁμοτέχνοις διαλάμψασαν, ὧν ἕνεκα τῆς μεγίστης εὐκλείας ἠξιωμένην γέρασί τε πολλοῖς ἐπαίνοις τε τετιμημένην, τῇ δὲ πατρίδι τῇ ἡμετέρᾳ φίλτατα φρονοῦσαν, αὐτὴν τε αἰνέσαι, τὴν ἑαυτῆς δαημοσύνην ἀγλαΐσαι καὶ τοῦ Τμήματος ἐπίτιμον διδάκτορα ἀναδεῖξαι, τὸ δὲ ψήφισμα εἰς μεμβράναν ἀναγράψαι τὴν δὲ τοῦ Τμήματος Πρόεδρον ἐν τῇ αἰθούσῃ τῇ μεγάλῃ ἀναγνοῦσαν καὶ τὰς τιμὰς ἀνειποῦσαν, ἐπιδοῦναι αὐτῇ, ᾗ ἂν ἡμέρᾳ ἡ ἀναγόρευσις γένηται, καθ᾽ ἃ νενόμισται.

Ἐγένετο Ἀθήνησι, μηνὸς Ἰουνίου ἐνάτῃ, ἔτει ἑξκαιδεκάτῳ καὶ δισχιλιοστῷ.

Ἡ Πρόεδρος τοῦ Τμήματος
Θεατρικῶν Σπουδῶν

ΑΝΝΑ Γ. ΤΑΜΠΑΚΗ

# ΑΝΑΓΟΡΕΥΣΙΣ

Ἐπειδήπερ τὸ Τμῆμα Θεατρικῶν Σπουδῶν τῆς τῶν Φιλοσόφων Σχολῆς τοῦ Ἀθήνησιν Ἐθνικοῦ καὶ Καποδιστριακοῦ Πανεπιστημίου

## EDITH HALL

ἀξίαν ἀπέφηνε τοῦ ἐπιτίμου διδακτορικοῦ ἀξιώματος, ὁ δὲ Πρύτανις τῇ τοῦ Τμήματος γνώμῃ ἐπινεύει, διὰ ταῦτα ἐγώ

## ΑΝΝΑ Γ. ΤΑΜΠΑΚΗ

καθηγήτρια τῆς Θεατρολογίας – Ἱστορίας του Θεάτρου, νῦν δὲ τοῦ Τμήματος Θεατρικῶν Σπουδῶν τῆς τῶν Φιλοσόφων Σχολῆς Πρόεδρος, χρωμένῃ τῇ δυνάμει, ἣν παρὰ τῶν Πανεπιστημιακῶν Νόμων καὶ τοῦ Τμήματος ἔχω λαβοῦσα,

## EDITH HALL

ἐπίτιμον διδάκτορα τοῦ Τμήματος Θεατρικῶν Σπουδῶν τῆς τῶν Φιλοσόφων Σχολῆς τοῦ Ἀθήνησιν Ἐθνικοῦ καὶ Καποδιστριακοῦ Πανεπιστημίου δημοσίᾳ ἀναγορεύω καὶ πάσας τὰς προνομίας τὰς τῷ πανεπιστημιακῷ τούτῳ ἀξιώματι παρεπομένας ἀπονέμω.

Ἐγένετο Ἀθήνησι, μηνὸς Φεβρουαρίου τετάρτῃ καὶ δεκάτῃ, ἔτει ἑπτακαιδεκάτῳ καὶ δισχιλιοστῷ.

Ἡ Πρόεδρος τοῦ Τμήματος
Θεατρικῶν Σπουδῶν

ΑΝΝΑ Γ. ΤΑΜΠΑΚΗ

# ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ

ΠΡΥΤΑΝΕΥΟΝΤΟΣ

ΕΝ Τῼ ΑΘΗΝΗΣΙΝ ΕΘΝΙΚῼ ΚΑΙ ΚΑΠΟΔΙΣΤΡΙΑΚῼ ΠΑΝΕΠΙΣΤΗΜΙῼ

## ΜΕΛΕΤΙΟΥ-ΑΘΑΝΑΣΙΟΥ Κ. ΔΗΜΟΠΟΥΛΟΥ

ΚΑΘΗΓΗΤΟΥ ΤΗΣ ΘΕΡΑΠΕΥΤΙΚΗΣ-ΟΓΚΟΛΟΓΙΑΣ-ΑΙΜΑΤΟΛΟΓΙΑΣ

ΚΟΣΜΗΤΕΥΟΥΣΗΣ
ΕΝ Τῌ ΤΩΝ ΦΙΛΟΣΟΦΩΝ ΣΧΟΛῌ

## ΕΛΕΝΗΣ ΜΙΧ. ΚΑΡΑΜΑΛΕΓΚΟΥ

ΚΑΘΗΓΗΤΡΙΑΣ ΤΗΣ ΛΑΤΙΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ

ΠΡΟΕΔΡΕΥΟΥΣΗΣ ΔΕ
ΤΟΥ ΤΜΗΜΑΤΟΣ ΘΕΑΤΡΙΚΩΝ ΣΠΟΥΔΩΝ

## ΑΝΝΑΣ Γ. ΤΑΜΠΑΚΗ

ΚΑΘΗΓΗΤΡΙΑΣ ΤΗΣ ΘΕΑΤΡΟΛΟΓΙΑΣ – ΙΣΤΟΡΙΑΣ ΤΟΥ ΘΕΑΤΡΟΥ

# EDITH HALL

ΑΠΟ ΔΟΓΜΑΤΟΣ ΟΜΟΘΥΜΟΥ ΤΩΝ ΚΑΘΗΓΗΤΩΝ
ΤΟΥ ΤΜΗΜΑΤΟΣ ΘΕΑΤΡΙΚΩΝ ΣΠΟΥΔΩΝ
ΕΙΣ ΤΟΥΣ ΕΠΙΤΙΜΟΥΣ ΔΙΔΑΚΤΟΡΑΣ ΕΝΕΚΡΙΝΕ
ΜΗΝΟΣ ΦΕΒΡΟΥΑΡΙΟΥ ΤΕΤΑΡΤῌ ΚΑΙ ΔΕΚΑΤῌ
ΕΤΕΙ ΕΠΤΑΚΑΙΔΕΚΑΤῼ ΚΑΙ ΔΙΣΧΙΛΙΟΣΤῼ

| | | |
|---|---|---|
| Ο ΠΡΥΤΑΝΙΣ | Η ΚΟΣΜΗΤΩΡ<br>ΤΗΣ ΤΩΝ ΦΙΛΟΣΟΦΩΝ ΣΧΟΛΗΣ | Η ΠΡΟΕΔΡΟΣ<br>ΤΟΥ ΤΜΗΜΑΤΟΣ<br>ΘΕΑΤΡΙΚΩΝ ΣΠΟΥΔΩΝ |
| ΜΕΛΕΤΙΟΣ-ΑΘΑΝΑΣΙΟΣ Κ. ΔΗΜΟΠΟΥΛΟΣ | ΕΛΕΝΗ ΜΙΧ. ΚΑΡΑΜΑΛΕΓΚΟΥ | ΑΝΝΑ Γ. ΤΑΜΠΑΚΗ |